# 28 AUGUST

# PARACLISUL SF.CUVIOS MOISE ETIOPIANUL DE LA SKETIS

## PARACLISIER-GR


SAINT
MOSES
THE
ETHIOPIAN

# Παρακλητικός Κανών Ὁσίου ΜΩΫΣΕΩΣ τοῦ Οὔγγρου

**{Ἀντ. Μάρκου}**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ΄ (142) Ψαλμός και τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ.

Εἶτα τά Τροπάρια. Ἦχος δ’. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

**Τ**ῷ τῆς ἀγνότητος καί τῆς σωφροσύνης* ἀσείστῳ στύλῳ, τοῦ Κυρίου τῷ δούλῳ,* τῷ Μωϋσῇ, κρατίστῳ ἀρετῆς ἀθλητῇ,* δεῦτε καί προσπέσωμεν* μετ’ εὐλαβείας βοῶντες,* Σαῖς εὐχαῖς ἐλέησον* τούς φλογῇ καιομένους* ἀκολασίας πνεύματος δεινῆς,* ἵνα τιμῶμεν* Σοῦ τά μνημόσυνα.

Δόξα. Ὅμοιον.

**Τ**όν Οὐγγαρίας εὐγενέστατον γόνον* καί τόν τῆς Λαύρας μοναχόν Μωϋσέα* τόν ἐν Λειχίᾳ γνώμῃ μαρτυρήσαντα,* δεῦτε εὐφημήσωμεν,* ἐλέησον ἐκβοῶντες* τούς παραπικραίνοντας* τόν Θεόν τῇ πορνείᾳ* καί εἰς τάς ἄνω ὁδήγησον μονάς* καί μετανοίᾳ* ἡμᾶς χειραγώγησον.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

**Τ**ῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι σαρκός δυναστείᾳ,* τῷ μητρικῷ Σου φίλτρῳ ἐλέησον ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων,* πάσης τε ἐπιθέσεως* καί ὀλεθρίου πορνείας·* ὑπέρ ἡμῶν γάρ Σοῦ δέεται θερμῶς,* ὁ Σός ἱκέτης* Μωϋσῆς ὁ θειότατος.

Ψαλμός ν' (50).

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς μετά τῶν Θεοτοκίων· *ΑΓΝΟΙΑΣ ΤΟΝ ΣΤΥΛΟΝ ΥΜΝΩ ΜΩΥΣΕΑ. ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α'. Ἦχος πλ. δ'. Ὑγράν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἀ**γνοίας, ὦ φίλοι, τῷ ἐραστῇ* καί τῆς σωφροσύνης* διά βίου τῷ τιμητῇ,* Μωϋσῇ τῷ Οὔγγρῳ, τῷ ἐν Λαύρᾳ* οἱ πυρούμενοι πάθεσι σπεύσωμεν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Γ**άμον τόν ἐπίγειον ἐκφυγών,* γάμου οὐρανίου* μετά Νυμφίου ἐπιτυχών,* πέφηκας, παρθένε, τοῦ Θεόπτου* Μωϋσέως ἐν πᾶσι ὁμότιμος.

Δόξα.

**Ν**ίκην κατά πλάνου ἐπιτυχών,* νίκας νῦν χαρίζεις* τοῖς τρυχωμένοις ὑπό παθῶν* διό ἡμᾶς

ῥῦσαι, θεοφόρε, * ἀπό παθῶν τῶν ψυχοφθόρων πρεσβείαις Σου.

Καί νῦν. Θεοτοκίον.

**Ὅ**λον ἐνυπάρχοντα ἐν δεσμοῖς* σαρκός σκιρτημάτων,* ἱκετεύω ἀπαλλαγήν* δεσμῶν τῶν ἐκεῖσε, Θεοτόκε,* εὐχαῖς ἁγίαις, σεπτή μεσιτείᾳ Σου.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἰ**όν ὄφεως, Πάτερ,* ἐν τῇ σαρκί φέροντι,* παθῶν ἰοβόλων ταμεῖον* ὁ τάλας πέφυνα,* πλήν Σύ μοί δώρησαι* ἀπαλλαγήν ἀπό τούτων,* ὁ φανείς ἁγνότητος* ταμεῖον τ' ἐνδιαίτημα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἀ**πό πάθους πορνείας* ἀγάπῃ Σῇ ἐπικάλυψον,***** τῇ τῆς σωφροσύνης καλύπτρᾳ,* ψυχήν δέ στέγασον* ἐν ἀπαθείας σκεπῇ, * αὐτῆς δέ Πάτερ, τήν δρόσον* Σοῖς δούλοις ἐπόμβρισον,* φλόγαν σβενύων τοῦ σώματος.

Δόξα.

**Σ**αρκός τήν ἀλγηδόνα* ἡ ἁμαρτία ἐπέφερε,* τοῖς μετά τήν πτῶσιν ἀνθρώποις,* πλήν Σύ θεράπευσον,* ὁ τῶν βασάνων λαβών* ἐν σώματι τήν πεῖραν·* διό πασχόντων πύρωσιν* σβενύων Σαῖς δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

**Τ**ομήν τῆς ἀμαρτίας* τήν τῆς σαρκός, Ὅσιε,* χάρισαι ἡμῖν τρυχωμένοις* πάθεσι σώματος,* ὁ δι' ἀγώνων λαβών* τήν χάριν τοῦ ἰᾶσθαι* τό τῆς σαρκός εὐώλισθον* καί καταργεῖν αὐτό.

**Δ**ιάσωσον* ἀπὸ παθῶν τούς δούλους Σου, θεῖε Πάτερ,* ὅτι πάντες οἱ ἐν δεινοῖς πρὸς Σὲ καταφεύγομεν,* ὡς ἔχοντα πρὸς Θεὸν παῤῥησίαν.

**Ἐ**πίβλεψον* ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

**Τ**ῆς Λαύρας, Μωϋσῆ,* τῆς τῶν Σπηλαίων κόσμημα*, δυσώπει Χριστόν,* λυτροῦσθαι πάσης πτώσεως,* τούς πίστει Σέ γεραίροντας* καὶ πταισμάτων διδόναι συγχώρησιν* καὶ ἐκ παθῶν σαρκός ἀπαλλαγήν,* τοὺς σπεύδοντας, Πάτερ,* τῇ πρεσβείᾳ Σου.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ο**ἴμοι, πῶς κατεῤῥύπωσα* τῆς ψυχῆς μου Κύριε, τό χιτώνιον,* πλήν πρεσβείαις τοῦ ἱκέτου Σου* Μωϋσέως, Σῶτερ, ἀποκάθαρον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

Νίκην δίδου μοι, Ὅσιε,* κατά τῶν τῆς σαρκός μου ἐξάρσεων* τῇ δυνάμει τῇ δοθείσῃ Σοι,* είς ἀντίδοσιν τῶν θείων ἀγώνων Σου.

Δόξα.

**Σ**ῶσαι σπεῦσον, ἀπόλυμι,* πάθεσιν ὀλεθρίοις ὀλύμενον,* καί ἀνόρθωσον τόν κράζοντα* Μωϋσῆ, ἐλέησον τόν δοῦλον Σου.

Καί νῦν. Θεοτοκίον.

**Τ**ήν ἐμήν, Ἀειπάρθενε,*ἐν βορβόρῳ ὄζουσαν ἀποκάθαρον,* ψυχήν ἀθλίαν τοῦ δούλου Σου,* τῇ πρεσβείᾳ Μωϋσέως Σοῦ θεράποντος.

ᾨδή ε'. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ὕ**ψωσον λαόν* τῷ πυθμένι κατακείμενον* τῶν παθῶν τῶν σαρκικῶν, ὦ Ἀγαθέ,* ὁ τήν πρεσβείαν* τοῦ Ὁσίου Σου δεχόμενος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Λ**άμψον ἐφ' ἡμᾶς* τῇ πρεσβείᾳ τοῦ Ὁσίου Σου,* τῆς ἀγνότητος τό φῶς καί τῶν παθῶν* τῶν γηϊνων τήν σκοτόμαιναν διάλυσον.

Δόξα.

**Ὅ**λον με Πατρί,* διά Πνεύματος Ἁγίου Σου* ἐπισύναψον, ἀγνότητι Χριστέ,* ἐκκαθάρας* μετανοίᾳ μου τόν βόρβορον.

Καί νῦν. Θεοτοκίον.

**Ν**ήψεως πηγήν* Μωϋσέως ταῖς δεήσεσι,* Ἀειπάρθενε, φωτί τῶν ἀρετῶν,* ἀναδειξόν με,* τόν ἐν βάθει κατακείμενον.

Ὠδή στ'. Τήν δέησιν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ὑ**ψόθεν μοι* τήν ἐνίσχυσιν, Ἅγιε,* ἐξαπόστειλον, τῷ ἄφρονι βίῳ* τήν τῆς ψυχῆς καί τοῦ σώματος ῥῶσιν* καταβαλόντα, ἀσθενείᾳ δέ κείμενον·* Σοῦ δέομαι τοῦ νικητοῦ* τῶν τῆς σαρκός παραπτώσεων, Ὅσιε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Μ**ανίαν* καί προσβολήν τοῦ ἀλάστορος* ἀπέκρουσας, Μωϋσῆ, διά βίου,* ὅτι ἐν Σοί κατεσκήνωσεν ὄντως* τοῦ Παρακλήτου ἡ χάρις, θεσπέσιε·* διό ἐφάνης τοῖς λαοῖς,* τῆς ἁγνότητος μέγας διδάσκαλος.

Δόξα.

**Ν**ενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσιν ὅλως,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* πλήν Σαῖς δεήσεσι θείαις ἐλέησον,* τόν πάθεσι φθοροποιοῖς* κατατρυχόμενον, Πάτερ θεσπέσιε.

Καί νῦν. Θεοτοκίον.

**Ὡ**ράϊσον* ψυχήν ἐμήν, Ἀκήρατε,* ἀμαυρότητα παθῶν καταργοῦσα,* ὑπέρ ἐμοῦ τοῦ πανταλαινος δούλου,* τόν Σόν Υἱόν δυσωποῦσα καί Κύριον,* ὅτι

μεγίστην πρός Αὐτόν* παῤῥησίαν κρατεῖς, Ἀειπάρθενε.

Διάσωσον* ἀπὸ παθῶν τούς δούλους Σου, θεῖε Πάτερ,* ὅτι πάντες οἱ ἐν δεινοῖς πρὸς Σὲ καταφεύγομεν,* ὡς ἔχοντα πρὸς Θεὸν παῤῥησίαν.

Ἄχραντε,* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως,* ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Μωϋσέως τῇ πρεσβείᾳ, Πολυέλεε,* ἱκεσίαις τε αὐτοῦ καί δεήσεσι* τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς·* ἡμάρτομέν Σοι, Ἀγαθέ,* καί παροργίζομεν ἀεί,* τήν Σήν ἀγαθότητα·* δέχου τήν μεσιτείαν* τοῦ ἁγίου Σου δούλου,* ἐπικαμπτόμενος, Σωτήρ,* αὐτοῦ ταῖς δεήσεσι.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Τὶ ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδοκέ μοι;*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν

Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

**Σ**αρκός ἡδυπάθειαν* καταβαλὼν θείῳ πόθῳ,* ἀνδρικῶς ἐνήθλησας* θεῖον τῷ Παντάνακτι ἔχων ἔρωτα·* καὶ ζωῆς κρείττονος* καταξιούμενος,* Μωϋσῆ θαυμασιώτατε,* ἀπαύστως πρέσβευε,* πάσης συμφορᾶς καὶ κακώσεως,* δεινῆς τε περιστάσεως* καὶ ἐπιβουλῆς τοῦ ἀλάστορος,* ἀτρώτους τηρεῖσθαι* τοὺς μέλποντας τὴν ἄθλησιν τὴν Σήν,* δι᾽ ἧς Χριστὸν ἐμεγάλυνας,* τὸν Σὲ θαυμαστώσαντα.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Μ**ακρυνθεὶς τοῦ Σοῦ φόβου,* εἰς ἀπείρους αἰῶνας μέλλω κολάζεσθαι* καὶ κόπτεσθαι καὶ

κλαίειν,* ἀλλὰ σῶσόν με, Σῶτερ,* τῇ πρεσβείᾳ τοῦ δούλου Σου,* ἵνα Σε πόθῳ ἀνυμνῶ,* εἰς πάντας τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ὢ** τῶν θείων ἀγώνων,* δι'ὧν ἡγιάσθης, Πάτερ μακάριε,* καὶ χάριν καὶ εἰρήνην,* παρέχεις αὐταδέλφοις,* τοῖς πιστῶς ἀνακράζουσιν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Δόξα.

**Ὑ**μᾶς ῥῦσαι κινδύνων* ἐκλυτρούμενος, Πάτερ, τῇ προστασίᾳ Σου,* σαρκὸς ἐπαναστάσεις* καταστέλων εὐχαῖς Σου* τοῖς ἐκ πόθου κραυγάζουσι·* χαῖρε ἁγνοίας φωστήρ* καὶ σωφροσύνης γέρας.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**ωτηρίας τὴν τρίβον* εὔθυνόν μοι, Παρθένε, καὶ καταξίωσον* τὸν ἐλαφρὸν βαστάζειν* ζυγὸν Χριστοῦ Κυρίου,* Ἀειπάρθενε Δέσποινα,* ἵνα τῆς θείας χαρᾶς* ἀξιωθῶ καὶ δόξης.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἐ**κ τῆς σαρκός τε* τῶν ἐπιθέσεων ῥύου* καὶ διανοίας ἀτάκτων σκριτημάτων,* ὡς οὐρανόθεν* λαβὼν ταύτην τήν χάριν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἀ**παλλαγῆναι* τῶν προσβολῶν τοῦ βελίαρ* καὶ τῶν αὐτοῦ ἐπιθέσεων ὅλως* δεόμεθά Σοι* οἱ χρήζοντες ἐλέους.

Δόξα.

**Ἁ**γνε̲ίας τείχει* περιτείχισον, ὅπως* ἀντιστῆναι δυνησώμεθα, Πάτερ, * τοῦ ἀντικειμένου* τά βέλη τά πυρφόρα.

Καί νῦν. Θεοτοκίον.

**Ν**αόν Υἱοῦ Σου* ἀνάδειξον, Κόρη,* τήν ψυχήν τοῦ Σοῦ παντλή-ονος δούλου,* τοῦ ἐξανυψοῦντος* πρός Σέ νοός τό ὄμμα.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Τ**οὺς πόθῳ προσκυνοῦντας* Λειψάνων Σου τήν θήκην,* τήν ἐν τῇ Λαύρᾳ Σπηλαίων κειμένην νῦν,* τῆς τῶν παθῶν ἀλογίας* πάντας ἀπάλλαξον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ὡ**ράϊσον εὐχαῖς Σου* ψυχῶν τήν ἀκοσμίαν* καί δυσωδίαν παθῶν ἐξαφάνισον* τῇ εὐωδίᾳ ἀρετῶν* τῶν τοῦ Πνεύματος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ν**ικήσας ἐν τῷ κόσμῳ* Μάρτυσι συγχορεύεις* καί τῶν Ὁσίων τοῖς δήμοις δεόμενος,* ὑπὲρ τῶν πίστει τελούντων* τὴν θείαν μνήμην σου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.

**Ἰ**λύος ἁμαρτίας* κάθαρόν με, Πάτερ,* πρεσβευτικαῖς Σοῦ ἀρδείαις, θεότιμε,* καὶ οὐρανόθεν γλυκασμόν* ἐπόμβρισον δέομαι.

Δόξα.

Ὁσίως διανῦσαι,* πάντα μου τὸν βίον,* ἐνίσχυσόν με, τῆς Λαύρας τό καύχημα,* ἵνα ζωῆς τῆς ἀλήκτου* τύχω ὁ ἄθλιος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑψίστου χαῖρε Μῆτερ,* Κεχαριτωμένη,* ἡ τῆς ψυχῆς μου χαρὰ καὶ παράκλησις* καὶ εὐφροσύνη ἁγία* καὶ σωτηρία μου.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Βίῳ διαπρέψας ἀσκητικῷ,* ἤθλησας νομίμως* καὶ καθεῖλες τὸν δυσμενῆ,* Μωϋσῆ τρισμάκαρ,* Χριστοῦ Ὁσιομάρτυς·* διὸ τοῖς Σὲ τιμῶσι* δίδου βοήθειαν.

Ὅρμησον τούς δούλους Σου οὐρανῷ,* θεότιμε Πάτερ,* πάντων δέ φάνηθι βοηθός,* τῶν προσερχομένων* τοῖς θείοις Σου λειψάνοις* καὶ ἐπικαλουμένων* τὴν προστασίαν Σου.

Ἤνεγκας βασάνους ἐν τῇ σαρκί* ποθῶν τήν ἁγνείαν,* ὥσπερ ἄσαρκος, Μωϋσῆ,* καὶ τῆς ἀνομίας* ἀπέτεμες τὸ κράτος,* ὑπὲρ Χριστοῦ Σόν αἷμα* ἐκχύσας, Ὅσιε.

**Θ**ρόνῳ παριστάμενος τοῦ Χριστοῦ,* Μωϋσῆ τρισμάκαρ,* εὐκλεὴς ὡς ἀγωνιστής,* πρέσβευε ἀπαύστως,* πάσης λυτροῦσθαι βλάβης,* τοὺς προσιόντας, Πάτερ,* θήκῃ Λειψάνων Σου.

**Μ**έγας ἀνεδείχθης τοῖς ἐν τῇ γῇ,* τρισόλβιε Πάτερ,* ἀριστεύσας πνευματικῶς* καὶ τῶν Σῶν αἱμάτων* ἐκχύσει ὑπεμφαίνεις* τὴν πρὸς Χριστὸν τελείαν* ἀγάπην, Ἅγιε.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β'.

**Ἐ**λέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τὴν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

**Κ**ύριε ἐλέησον ἡμᾶς,* ἐπὶ Σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,* ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σὺ γὰρ εἶ Θεός ἡμῶν* καὶ ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

**Τ**ῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων,* Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Είκόνα τοῦ Ὁσίου καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

**Π**άντας τούς προσφεύγοντας πιστῶς,* ἐπί τῶν λειψάνων τήν θήκην* καί τῇ εἰκόνι, σεπτέ,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* τῶν παθῶν δέ διάλυσον* τόν σάλον πταιόντων,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·* Σύ γάρ τῶν Σπηλαίων ὑπάρχεις* καί Ῥωσίας πάσης προστάτης,* πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.

Ἦχος πλ. δ'.

**Δ**έσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων Σου* καὶ λύτρωσαι ἡμᾶς,* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

**Τ**όν ἀγνότητος στῦλον,* σωφροσύνης τό ἔρεισμα,* τόν τό αἷμα ἐκχύσαντα, ἵνα* τήν ἀγνείαν τηρήσῃ·* τόν μέγαν ἐν Σπηλαίοις Μωϋσῆν*, ὀλετῆρα τῶν τοῦ σώματος παθῶν,* τιμήσωμεν ἐν ὕμνοις τε καί ᾠδαῖς,* πρός Χριστόν ἀνακράζοντες.* Δόξα τῷ ἀναδείξαντι αὐτόν,* δόξα τῷ στεφανώσαντι,* δόξα τῷ δωρουμένῳ δι'αὐτοῦ* πᾶσι συγχώρησιν.